Ακαδημία Αθηνών / Academy of Athens



### 1 - *30α*

1456 (?). Συνοδικὴ ἀπόφασις πΚ. χορηγήσεως ἀδείας β' γάμου, μὴ λυθέντος τοῦ πρώτου, *«τῶν πραγμάτων ἀναγκαζόντων, ἵνα μὴ τὸ χεῖρον συμβῇ...»*, ἐν Ἄνδρῳ,

ἐν *294α*, σ. 148 - 149.

*«...Γυνή τις ἐπιπράσκετο καὶ δεινῶς ἠναγκάζετο, ἧς ὁ ἀνήρ, Δημήτριος... ἀπῆν διὰ τὴν αἰχμαλωσίαν καὶ ἀφανὴς ἦν· ἐξωνήσατο δ' ὅμως αὐτήν, λαβὼν παρὰ Ἑβραίων ἀργύρια, Μανουήλ τις ἢ οἴκτου κινοῦντος αὐτὸν ἢ φιλίας ἢ χρείας καὶ ὅσα γυναικὶ ἐχρῆτο αὐτῇ καὶ ἐπαιδοποίησε μετ' αὐτῆς. Μετὰ δέ τινα χρόνου παραδρομὴν ἐπανῆκε καὶ ὁ πρώην ἀνὴρ αὐτῆς, ὁ Δημήτριος, καὶ εὑρὼν αὐτὴν συνοικοῦσαν τῷ Μανουὴλ καὶ παιδοποιοῦσαν μετ' αὐτοῦ, ἡσύχασε, μήτε αὐτὴν μήτε ἄλλην ἀγαγέσθαι θελήσας. ...ὁ δὲ Μανουὴλ ζητῶν ἱερολογηθῆναι τὴν γυναῖκα, ἐκωλύετο διὰ τὸν Δημήτριον. Ἐλθόντων δὲ τῶν αὐθεντικῶν διαταγμάτων, δεῖν πάντα χριστιανὸν τὸν ἔχοντα ὠνητόν, ἢ ἄνδρα ἢ γυναῖκα, ἢ ἀφεῖναι ἐλεύθερον κελευόντων ἢ πιπράσκειν Τούρκοις καὶ οὐχ ἑτέρῳ τινί, εἰς πλείονα κατέστη ἀνάγκην ὁ Μανουήλ, ἀνόσιον καὶ δεινὸν ἡγησάμενος, εἰ διαπράσαιτο αὐτὴν οἷς εἴρηται σὺν δυσὶ νεογνοῖς — ἔμελλον γὰρ κινδυνεύσειν περὶ τὴν πίστιν — μὴ δυνάμενος δὲ ἀφεῖναι αὐτὴν ἐλευθέραν, δι' ἃ ὤφελε τοῖς Ἑβραίοις χρέα κεφαλαίων καὶ τόκων, μίαν εὕρισκε μηχανὴν εἰς παραμυθίαν τοῦ κακοῦ, εἰ αὐτὴν ἱερολογηθείη. Καὶ δὴ προσδραμὼν ἐζήτησε παρὰ τῆς Ἐκκλησίας διάκρισιν, τὰς ἀνάγκας ἀφηγησάμενος. Ἐν ὠσὶ δὲν ἀνηνέχθη πάντα τῷ πατριάρχῃ, προκαθημένῳ συνοδικῶς... Εἰ οὖν ὁ Δημήτριος, ὥσπερ ἐξ ᾅδου εἰς τόνδε τὸν κόσμον ἐπανελθών, ᾑρεῖτο τὴν ἰδίαν ἀναλαβεῖν γαμετήν, ἐξῆν αὐτῷ καὶ εἶχεν ἂν τὸ καθόλου καλῶς· ἐπεὶ δὲ αὐτὸς μὲν οὐ βούλεται τοῦτο, ἡ δὲ γυνὴ οὐχ ὡς μοιχαλὶς συνῆλθε τῷ Μανουήλ, ἀλλ' ὑπὸ τῆς ἀνάγκης τῆς δουλείας, οὐδὲ ὁ Μανουὴλ τρόπον μοιχοῦ αὐτὴν ἠγάγετο, καὶ οὕτω ἴσως βέλτιον ἦν ἀπέχειν αὐτοὺς ἀλλήλων, τῶν δὲ πραγμάτων ἀναγκαζόντων, ἵνα μή τι χεῖρον συμβῇ, ...καὶ ἱερολογήθη τὸ συνοικέσιον».*

### 2 - *51α*

1530. Δωρεὰ ἐνώπιον νοταρίου τῆς βασιλικῆς ἐξουσίας, ἐν τῷ χωρίῳ Καμάρι τοῦ Χάνδακος Κρήτης, ἡ ἀρχόντισσα Μ. Σ. μετὰ τοῦ υἱοῦ της Α. Σ. δίδουν ἐκ τοῦ μεριδίου τοῦ Ν. Σ. (υἱοῦ τῆς πρώτης καὶ ἀδελφοῦ τοῦ δευτέρου) εἰς τὸν Κλήμην Γ., ἡγούμενον τῆς μονῆς Καβαλλαρέας, λόγῳ δωρεᾶς ἓν ἀμπέλιον καὶ τμῆμα χωραφίου,

ἐν *262α*, σ. 289, ἀριθ. 91.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ